Ακαδημία Αθηνών / Academy of Athens



**ποικίλος.** Ποικίλος/γεμάτος ἀπὸ διαφορετικὰ πράγματα, various/full of different things, Δημόκριτος 149 *π ο ι κ ί λ ο ν τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον.*

**ποιπνύειν.** Πνευστιῶ/ἀσθμαίνω, be short of breath/be out of breath, 'Εμπεδοκλῆς 73.2 *ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄμβρῳ, εἴδεα π ο ι π ν ύ ο υ σ α θοῷ πυρὶ δῶκε κρατῦναι.*

**πολέμιος 1.** Πολέμιος/ἐχθρικός, hostile, Φιλόλαος 11.24 *ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐπιπνεῖ· π ο λ έ μ ι ο ν γὰρ καὶ ἐχθρὸν τᾷ φύσει τὸ ψεῦδος* Δημόκριτος 259.2 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν π ο λ ε μ ί ω ν, οὕτω καὶ κατὰ ἀνθρώπων* **2.** Πολέμιος/ἐχθρός, enemy, Δημόκριτος 214 *ἀνδρεῖος οὐχ ὁ τῶν π ο λ ε μ ί ω ν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων* 259.4 *κατὰ νόμους τοὺς πατρίους κτείνειν π ο λ έ μ ι ο ν ἐν παντὶ κόσμῳ.*

**πόλεμος** (ἀντίθ. *εἰρήνη*). Πόλεμος, war, 'Ηράκλειτος 53 *Π ό λ ε μ ο ς πάντων μὲν πατήρ ἐστι* 67 *ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, π ό λ ε μ ο ς εἰρήνη, κόρος λιμὸς* 80 *εἰδέναι δὲ χρὴ τὸν π ό λ ε μ ο ν ἐόντα ξυνόν.* || Δημόκριτος 250 *ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς π ο λ έ μ ο υ ς δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.* Πρβλ. *ἔρις.*

**πολιήτης.** Πολίτης, citizen, Δημόκριτος 255.5 *καὶ τοὺς π ο λ ι ή τ α ς ὁμονόους εἶναι.*

**πόλις 1.** Πολιτεία/κράτος, city/state, Ξενοφάνης 2.9-20-22 *καί κεν σῖτ' εἴη δημοσίων κτεάνων ἐκ π ό λ ε ω ς καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη ... σμικρὸν δ' ἄν τι π ό λ ε ι χάρμα γένοιτ' ἐπὶ τῷ, εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας· οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς π ό λ ε ω ς* 'Ηράκλειτος 121 *τοῖς ἀνήβοις τὴν π ό λ ι ν καταλιπεῖν* **2.** Πολιτεία/πολιτικὴ κοινωνία, political society, Ξενοφάνης 2.19 *τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ π ό λ ι ς εἴη* 'Ηράκλειτος 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ π ό λ ι ς, καὶ πολὺ ἰσχυροτέρως·* Δημόκριτος 214 *ἔνιοι δὲ π ο λ ί ω ν μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν* 250